
# ΜΟΥΣΑΙΟΥ

ποιημάτιον τὰ καθ' Ἡρὼ καὶ Λέανδρον.

## MVSAEI OPVSCVLVM
de Herone & Leandro.

γνῶμαι μονόστιχοι ἐκ διαφόρων ποιητῶν.

*Sententiæ monostichi ex uarijs poëtis.*





PARISIIS.

*Ex officina Christiani Wechel.*

An. M. D. XXXVIII.

Εἰς Μουσαῖον ἐπιτάφιον.

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας
Μουσαῖον φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.

*In Musæum epitaphium.*

*Eumolpi charum tenet ora Phalerica gnatum*
*Musæum cassum corpore, in hoc tumulo.*
*Aliàs.*
*Eumolpi charum filium tenet Phaleriam solum*
*Musæum corruptum corpore sub hoc tumulo.*

*Sed cùm quatuor fuisse Musæos à Suida tradatur, unùs ne ex ijs, an alius quispiam hic noster fuerit, inquirendum.*

## ἈΛΔΟΣ Ὁ ῬΩΜΑΪΟΣ ΤΟΙ͂Σ σπουδαίοις εὖ πράττειν.

Μουσαῖον τὸν παλαιότατον ποιητὴν ἠθέλησα προοιμιάζειν τῷ τε Ἀριστοτέλει, καὶ τῶν σοφῶν τοῖς ἑτέροις αὐτίκα δὴ ἐμοῦ ἐντυπωθησομένοις, τῷ τε εἶναι αὐτὸν ἥδιστον ἅμα καὶ λογιώτατον, καὶ μάλιστα ὡς ἂν εἴδητε τὰ ἀρχαῖα τούτου τῷ Οὐιδίῳ δανεισθέντα δαιμονίως τῷ ὄντι καὶ εὐφυῶς, καὶ ὅπως αὐτὸν ἐμιμήσατο ἐν ταῖς Ἡροῦς καὶ Λεάνδρου πρὸς ἀλλήλους ἐπιστολαῖς. λαμβάνετ' οὖν τουτὶ τὸ βιβλίδιον, οὐ προῖκα μέντοι, δότε δὲ τὰ χρήματα, ἵν' ἔχω, καὶ αὐτὸς παρέχεσθαι ὑμῖν πάσας τὰς τῶν Ἑλλήνων ἀρίστας βίβλους, καὶ ὄντως εἰδῶσι τε, διότι οὐκ ἔχω ἐντυποῦν ἄνευ χρημάτων πολλῶν. πιστεύετε τοῖς οὐκ ἀκινδύνως ἐμπειρατεῖσι, καὶ πάντων μάλιστα οὑτωσὶ λέγουσι Δημοσθένει, Δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων· οὐ μὴν φιλοχρημάτως ἔχων, μᾶλλον δὲ τοῖς τοιούτοις ἀπεχθανόμενος ταῦτά γε εἴρηκα. καί τοι χρημάτων ἄνευ οὐ δυνατὸν εὐπορεῖν ὧν ὑμεῖς μὲν ὑπερβαλλόντως ἐφίεσθε, αὐτοὶ δὲ πολλῷ μόχθῳ καὶ δαπάνῃ πεπονηκότες διατελοῦμεν. Ἔρρωσθε.

## ΜΑΡΚΟΥ ΜΟΥΣΟΥΡΟΥ ΤΟΥ ΚΡΗΤΟΣ.

Νηὸς ἔσω ἀνὰ Σηστὸν, ἀγίνεον ἦχι θυηλὰς
Κυπρογενεῖ σπεύδοντες ἐτήσιον, αὐτὰρ ὁ τόξοις
οὖλος ἔρως βάσαζε, διοιστεύσας δὲ μεμηνὼς,
ὀξέα δενδίλλεσκε, πικρὸν δ' ἴθυνεν οἰστὸν
μητρὸς ἔσω ἀρήτειραν, ὑποσπέρχων δ' ἐπελάσθη
Ἡ παῖς Λειανδρείοιο, κόρης φρένας αἶψα πυρήσας.
Ἀμφότεροι δ' ἐπόθουν, καὶ τῷ πεφορημένοι οἴστρῳ,
Ἀλλήλων ἀπέναντι, γάμον δὲ ζωίσορα λύχνον
λαθριδίων θήκαντο, σιδήρεον δὲ λελογχὼς (λαις.
Αἷμα, πολυπλάγκτης πόντου δῶκε προθέοντας ἀέλ-
καί σφε φάος μὴ ἄμερσεν, ἄμερσε δὲ καὶ φιλότητος.

### τοῦ αὐτοῦ εἰς Μουσαῖον.

Καὶ φρένας ἀφρήστεια θεῶν ἕλε. δὴ γὰρ ἀοιδαῖς,
Στεῦτο λαχεῖν Ἄρης μοῦνος ἄποινα πόνων.
Τοῦτο κλύων νεμέσησ' ὅτ' ἑοῖς ἐπενλώθεν ἔργοις
Ἀλλὺς ἄδην, ἀρδύς τ' οὐ χάδεν ὕβριν ἔρως·
Μουσαίῳ δ' ἐπέτελλεν· ὃ δ' ἐκλήιζε ποθεῦντας
οἶστρον ἀποδρέψαι παρθενίης κάλυκας.
Αἰνείσθω δὲ μικροῖσιν ὑποστίξας σελίδεσιν,
Ὅσσ' ὀλίγαις παίζων χερσὶν ἔοργεν ἔρως.

# ΜΟΥΣΑΙ'ΟΥ ΤΑ' ΚΑΘ' Η'ΡΩ' ΚΑΙ' ΛΕΑ'ΝΔΡΟΝ.

Εἴπε θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων,
Καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων·
Καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠώς·
Καὶ Σηστὸν καὶ Ἄβυδον ὅπη γάμος ἔννυχος Ἡροῦς·
Νηχόμενόν τε λέανδρον ὁμοῦ καὶ λύχνον ἀκούω,
Λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης·
Ἡροῦς νυκτιγάμοιο, γαμοστόλον ἀγγελιώτην.
Λύχνον ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος ζεὺς,
Ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐφ' ὁμήγυριν ἄστρων,
Καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων.
Ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων·
Ἀγγελίην δ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων
Πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.
Ἀλλ' ἄγε μοι μέλποντι μίαν ξυνάειδε τελευτὴν
Λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο λεάνδρου.
Σηστὸς ἔην καὶ Ἄβυδος ἐναντίον ἐγγύθι πόντου·
Γείτονές εἰσι πόληες, ἔρως δ' ἀνὰ τόξα τιταίνων,
Ἀμφοτέρῃς πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστὸν,
Ἠΐθεον φλέξας καὶ παρθένον. οὔνομα δ' αὐτῶν
Ἱμερόεις τε λέανδρος ἔην, καὶ παρθένος Ἡρώ·
Ἡ μὲν, σηστὸν ἔναιεν· ὁ δὲ, πτολίεθρον Ἀβύδου,
Ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω,

Ἴκελοι δ᾽ ἀλλήλοισι· σὺ δ᾽ εἴ ποτε κεῖθι περήσεις,
Δίζεό μοι τινὰ πύργον, ὅπη ποτὲ Σηστιὰς Ἡρὼ,
Ἵστατο λύχνον ἔχουσα, καὶ ἡγεμόνευε Λεάνδρῳ·
Δίζεο δ᾽ ἀρχαίης ἁλιηχέα πορθμὸν Ἀβύδου,
Εἰσέτι που κλαίοντα μόρον, καὶ ἔρωτα Λεάνδρου.
Ἀλλὰ πόθεν Λείανδρος Ἀβυδόθι δώματα ναίων,
Ἡροῦς ἐς πόθον ἦλθε, πόθῳ δ᾽ ἐνέδησε καὶ αὐτήν;
Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια· γάμων δ᾽ ἀδίδακτος ἐοῦσα,
Πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ,
Ἄλλη Κύπρις ἄνασσα· σαοφροσύνῃ δὲ καὶ αἰδοῖ
Οὐδέποτ᾽ ἀγρομένῃσιν ὡμίλησε γυναιξίν·
Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης.
Μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων·
(Καὶ γὰρ ἐπ᾽ ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες.)
Ἀλλ᾽ αἰεὶ Κυθέρειαν ἱλασκομένη Ἀφροδίτην
Πολλάκι καὶ τὸν ἔρωτα παρηγορέεσκε θυηλαῖς,
Μητρὶ σὺν οὐρανίῃ, φλογερὴν τρομέουσα φαρέτρην.
Ἀλλ᾽ οὐδ᾽ ὣς ἀλέεινε πυριπνείοντας ὀϊστούς·
Δὴ γὰρ Κυπριδίη πανδήμιος ἦλθεν ἑορτή,
Τὴν ἀνὰ Σηστὸν ἄγουσιν Ἀδώνιδι καὶ Κυθερείῃ·
Πασσυδίῃ δ᾽ ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι,
Ὅσσοι ναιετάεσκον ἁλιστεφέων σφυρὰ νήσων·
Οἱ μὲν ἀφ᾽ Αἱμονίης, οἱ δ᾽ εἰναλίης ἀπὸ Κύπρου.

οὐδέ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι κυθήρων·
οὐ λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων,
οὐδὲ περικτιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,
οὐ φρυγίης ναέτης, οὐ γείτονος ἀστὸς Ἀβύδου·
οὐδέ τις ἠϊθέων φιλοπάρθενος. ἦ γὰρ ἐκεῖνοι
αἰὲν ὁμαρτήσαντες ὅπη φάτις ἐστὶν ἑορτῆς,
οὐ τόσον ἀθανάτων ἀγέμεν σπεύδουσι θυηλάς,
ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων.
Ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπῴχετο παρθένος Ἡρὼ,
μαρμαρυγὴν χαρίεσσαν ἀπαστράπτουσα προσώπου
οἷά τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη.
Ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν,
ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον. ἢ τάχα φαίης
Ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι.
χροιὴν δ' μελέων ἐρυθαίνετο· νισσομένης δὲ (ρης·
καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κού-
πολλαὶ δ' ἐκ μελέων χάριτες ῥέον. οἱ δὲ παλαιοὶ
τρεῖς χάριτας ψεύσαντο πεφυκέναι· εἷς δέ τις Ἡροῦς
ὀφθαλμὸς γελόων, ἑκατὸν χαρίτεσσι τεθήλει.
Ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρετο κύπρις.
ὣς ἡ μὲν περὶ πολλὸν ἀριστεύουσα γυναικῶν,
κύπριδος ἀρήτειρα νέη διεφαίνετο κύπρις.
Δύσατο δ' ἠϊθέων ἁπαλὰς φρένας· οὐδέ τις ἀνδρῶν
3 ἦεν, ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον Ἡρώ.

Ἡ δ' ἄρα καλλιθέμεθλον ἐπὶ νηὸν ἀλᾶτο,
Ἑσπομένων νόον εἶχε, καὶ ὄμματα, καὶ φρένας ἀνδρῶν.
Καί τις ἐν ἠιθέοισιν ἐθαύμασε· καὶ φάτο μῦθον·
Καὶ Σπάρτης ἐπέβην· Λακεδαίμονος ἔδρακον ἄστυ,
Ἧχι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων.
Τοίην δ' οὔπω ὄπωπα νέην κεδνήν θ' ἁπαλήν τε.
Καὶ τάχα Κύπρις ἔχει Χαρίτων μίαν ὁπλοτεράων·
Παπταίνων ἐμόγησα, κόρον δ' οὐχ εὗρον ὀπωπῆς·
Αὐτίκα τεθναίην λεχέων ἐπιβήμενος Ἡροῦς.
Οὐκ ἂν ἐγὼ κατ' ὄλυμπον ἐφιμείρω θεὸς εἶναι,
Ἢ μετ' ἐμὴν παράκοιτιν ἔχων ἐνὶ δώμασιν Ἡρώ.
Εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
Τοίην μοι κυθέρεια νέην παράκοιτιν ὀπάσσαις.
Τοῖα μὲν ἠιθέων τις ἐφώνεεν, ἄλλοθεν ἄλλος
Ἕλκος ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κούρης·
Αἰνοπαθὲς Λείανδρε· σὺ δ' ὡς ἴδες εὐκλέα κούρην,
Οὐκ ἔθελες κρυφίοισι καταψύχειν φρένα κέντροις·
Ἀλλὰ πυριπνεύστοισι δαμεὶς ἀδόκητον ὀιστοῖς
Οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς·
Σὺν βλεφάρων δ' ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων,
Καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
Κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς,
Ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀιστοῦ.
Ὀφθαλμὸς δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων
Ἕλκος ὀλισθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.

εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς.
ἔτρεμε μὲν κραδίη, αἰδὼς δέ μιν εἶχεν ἁλῶναι.
θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ·
θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
ἠρέμα ποσσὶν ἔβαινε, καὶ ἀντίον ἵστατο κούρης·
λοξὰ δ' ὀπιπεύων δολερὰς ἐλέλιζεν ὀπωπὰς
νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
αὐτὴ δ' ὡς ξυνέηκε πόθον δολόεντα Λεάνδρου,
χαῖρεν ἐπ' ἀγλαΐῃσιν· ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
πολλάκις ἱμερόεσσαν ἑὴν ἀπέκρυψεν ὀπωπὴν
νεύμασι λαθριδίοισιν ὑπαγγελέουσα Λεάνδρῳ,
καὶ πάλιν ἀντέκλινεν. ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
ὅττι πόθον ξυνέηκε καὶ οὐκ ἀπεσείσατο κούρη.
ὄφρα μὲν οὖν Λείανδρος ἐδίζετο λάθριον ὥρην
φέγγος ἀναστείλασα κατήϊεν ἐς δύσιν ἠώς.
ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστὴρ
αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης,
ὡς ἴδε κυανόπεπλον ἐπιθρώσκουσαν ὁμίχλην·
ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης,
βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον· ἡ δὲ σιωπῇ
οἷά τε χωομένη ῥοδέην ἐξέσπασε χεῖρα.
ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης,
θαρσαλέως παλάμῃ πολυδαίδαλον ἕλκε χιτῶνα
ἔσχατα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηοῦ·
ὀκναλέως δὲ πόδεσσιν ἐφέσπετο παρθένος Ἡρὼ

οἷά

οἷά περ οὐκ ἐθέλουσα, τοίην δ' ἀνενείκατο φωνήν,
θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα Λεάνδρῳ·
ξεῖνε, τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;
Ἄλλην δεῦρο κέλευθον· ἐμὸν δ' ἀπόλειπε χιτῶνα·
μῆνιν ἐμῶν ἀλέεινε πολυκτεάνων γενετήρων·
κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν.
παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.
τοῖα μὲν ἠπείλησεν ἐοικότα παρθενικῇσιν.
θηλείης δὲ Λέανδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς,
Ἔγνω πειθομένων σημήια παρθενικάων.
καὶ γὰρ ὅτ' ἠιθέοισιν ἀπειλείωσι γυναῖκες,
κυπριδίων ὀάρων αὐτάγγελοί εἰσιν ἀπειλαί.
παρθενικῆς δ' εὔοδμον ἐΰχροον αὐχένα κύσσας,
τοῖον μῦθον ἔειπε, πόθου βεβολημένος οἴστρῳ·
κύπρι φίλη μετὰ κύπριν, ἀθηναίη μετ' Ἀθήνην.
(οὐ γὰρ ἐπιχθονίῃσιν ἴσην καλέω σε γυναιξί·
Ἀλλά σε θυγατέρεσσι διὸς κρονίωνος ἐΐσκω)
Ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ·
γαστὴρ ἥ σ' ἐλόχευσε, μακαρτάτη. ἀλλὰ λιτάων
ἡμετέρων ἐπάκουε· πόθου δ' οἴκτειρον ἀνάγκην·
κύπριδος ὡς ἱέρεια μετέρχεο κύπριδος ἔργα.
Δεῦρ' ἴθι μυστιπόλευε γαμήλια θεσμὰ θεαίνης·
παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν ἀφροδίτῃ·
παρθενικαῖς οὐ κύπρις ἰαίνεται. ἢν δ' ἐθελήσῃς
θεσμὰ θεῆς ἐρόεντα, καὶ ὄργια κεδνὰ δαῆναι,

Ἔστι

Ἔστι γάμος καὶ λέκτρα· σὺ δ᾽ εἰ φιλέεις κυθέρειαν,
θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων·
σὸν δ᾽ ἱκέτην με κόμιζε, καὶ ἣν ἐθέλῃς παράκοιτιν,
τόν σοι ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας·
ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόρραπις Ἑρμῆς,
θητεύειν ἐκόμιζεν Ἰαρδανίην ποτὶ νύμφην· (μῆς.
Σοὶ δέ με Κύπρις ἔπεμπε, καὶ οὐ σοφὸς ἤγαγεν Ἑρ-
Παρθένος οὐ σε λέληθεν ἀπ᾽ Ἀρκαδίης Ἀταλάντη
Ἥ ποτε Μειλανίωνος ἐρασσαμένου φύγεν εὐνήν,

Ἀντιπάτρου

*Memineris candide lector, nos Aldinum & Florentinum exemplar secutos, hic Antipatri uersus unà cum picturis inseruisse: non ignaros interim, commodiùs ad frontem calcémue libelli collocari.*

οὗτος ὁ Λειάνδροιο διάπλοος, οὗτος ὁ πόντου
πορθμὸς, ὁ μὴ μούνῳ τῷ φιλέοντι βαρύς.
ταῦθ' Ἡροῦς τὰ πάροιθε τὰτ' αὔλια, τοῦτο τὸ πύργου
λείψανον, ὁ προδότης ὧδ' ἐπέκειτο λύχνος.
κοινὸς δ' ἀμφοτέρους ὅδ' ἔχει τάφος, εἰσέτι καὶ νῦν
κείνῳ τῷ φθονερῷ μεμφομένους ἀνέμῳ.






παρθενίης ἀλέγουσα· χολωσαμένης δ' Ἀφροδίτης,
τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.
πείθεο καὶ σὺ φίλη, μὴ Κύπριδι μῆνιν ἐγείρῃς.
Ὡς εἰπὼν παρέπεισεν ἀναινομένης φρένα κούρης,
θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπήν,


Αἰδοῖ

Αἰδοῖ ἐρυθιόωσα ἀποκλέπτουσα παρειὴν,
καὶ χθονὸς ἔξεσεν ἄκρον ἐπ' ἴχνεσιν· αἰδομένη δὲ
πολλάκις ἀμφ' ὤμοισιν ἑὸν ξυνέεργε χιτῶνα·
πειθοῦς γὰρ τάδε πάντα προάγγελα. παρθενικῆς δὲ
πειθομένης ἐπὶ λέκτρον ὑπόσχεσίς ἐστι σιωπή.
Ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων.
θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος Ἡρώ,
κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο Λεάνδρου.
ὄφρα μὲν οὖν ἐπὶ γαῖαν ἔχεν νεύουσαν ὀμίχλην,
τόφρα δὲ καὶ Λείανδρος ἐρωμανέεσι προσώποις
οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
ὀψὲ δὲ Λειάνδρῳ γλυκερὴν ἀνενείκατο φωνήν,
αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπου·
ξεῖνε· τεοῖς ἐπέεσι τάχ' ἂν καὶ πέτρον ὀρίναις·
τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
οἴμοι τίς σ' ἐκόμισεν ἐμὴν ἐς πατρίδα γαῖαν;
ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο· πῶς γὰρ ἀλήτης
ξεῖνος ἐὼν καὶ ἄπιστος ἐμῇ φιλότητι μιγείης;
Ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσαι.
οὐ γὰρ ἐμοῖς τοκέεσιν ἐπεύαδεν· ἢν δ' ἐθελήσῃς
ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
οὐ δύνασαι σκοτόεσαν ἀποκλέπτειν Ἀφροδίτην.
γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος· ἐν δὲ σιωπῇ
ἔργον, ὅπερ τελέῃς, ἐνὶ τριόδοισιν ἀκούει.
εἰπὲ δέ, μὴ κρύψῃς, τεὸν οὔνομα, καὶ σέο πάτρην·

οὐ γὰρ

οὐδ' ἐμόν σε λέληθεν. ἐμοὶ δ' ὄνομα κλυτὸν Ἡρώ.
πύργος δ' ἀμφιβόητος ἐμὸς δόμος οὐρανομήκης,
ᾧ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνῃ
Σηστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας
γείτονα πόντον ἔχω στυγεραῖς βουλῇσι τοκήων·
οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες· οὐδὲ χορεῖαι
ἠιθέων παρέασιν. ἀεὶ δ' ἀνὰ νύκτα καὶ ἠῶ
ἐξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.
ὣς φαμένη ῥοδέην ὑπὸ φάρεϊ κρύπτε παρειὴν,
ἔμπαλιν αἰδομένη, σφετέροις δ' ἐπεμέμφετο μύ-
Λείανδρος δὲ πόθου βεβολημένος ὀξέι κέντρῳ, (θοις.
φράζετο πῶς κεν ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
ἄνδρα γὰρ αἰολόμητις ἔρως βελέεσσι δαμάζει,
καὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται· οἷσι δ' ἀνάσσει
αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσιν,
αὐτὸς καὶ ποθέοντι τότε χραίσμησε λεάνδρῳ.
ὀψὲ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον·
παρθένε σὸν δι' ἔρωτα καὶ ἄγριον οἶδμα περήσω,
εἰ πυρὶ παφλάζοιτο καὶ ἄπλοον ἔσσεται ὕδωρ.
οὐ τρομέω βαρὺ χεῦμα τεὴν μετανεύμενος εὐνὴν,
οὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης·
ἀλλ' ἀεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης
νήξομαι ἑλλήσποντον ἀγάρροον. οὐχ ἕκαθεν γὰρ
ἀντία σοῖο πόληος ἔχω πτολίεθρον ἀβύδου.
μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
ἐκ περάτης

ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας, ὄφρα νοήσας
ἔσσομαι ὁλκὰς ἔρωτος ἔχων σέθεν ἀστέρα λύχνον.
καί μιν ὀπιπεύων οὐκ ὄψομαι δύντα Βοώτην,
οὐ θρασὺν ὠρίωνα, καὶ ἄβροχον ὁλκὸν ἀμάξης
πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην·
ἀλλὰ φίλη πεφύλαξο βαρυπνείοντας ἀήτας,
μή μιν ἀποσβέσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,
λύχνον ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
εἰ ἐτεὸν δὲ θέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,
οὔνομά μοι Λείανδρος ἐϋστεφάνου πόσις Ἡροῦς.
ὣς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι.
καὶ νυχίην φιλότητα καὶ ἀγγελίην ὑμεναίων,
λύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάσσαι,
ἡ μὲν φάος τανύειν, ὁ δὲ κύματα μακρὰ περῆσαι,
παννυχίδας δ' ἀνύσαντες ἀκοιμήτων ὑμεναίων
ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκη·
ἡ μὲν ἑὸν ποτὶ πύργον· ὁ δ' ὀρφναίην ἀνὰ νύκτα
μή τι παραπλάζοιτο, βαλὼν σημήια πύργου,
πλῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον Ἀβύδου.
παννυχίων δ' ὀάρων κρυφίους ποθέοντες ἀέθλους.
πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην.
ἤδη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὁμίχλη,
ἀνδράσιν ὕπνον ἄγουσα, καὶ οὐ ποθέοντι Λεάνδρῳ·
ἀλλὰ πολυφλοίσβοιο παρ' ἠιόνεσσι θαλάσσης
ἀγγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων,

Μαρτυρίην λύχνοιο πολυκλαύτοιο δοκεύων,
Εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
Ὡς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην,
Ἡρὼ λύχνον ἔφαινεν· ἀναπτομένοιο δὲ λύχνου,
Θυμὸν ἔρως ἔφλεξεν ἐπειγομένοιο Λεάνδρου.
Λύχνῳ καιομένῳ συνεκαίετο. πὰρ δὲ θαλάσσης
Μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων,
Ἔτρεμε μὲν τὸ πρῶτον· ἔπειτα δὲ θάρσος ἀείρας
Τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις·
Δεινὸς ἔρως καὶ πόντος ἀμείλιχος· ἀλλὰ θαλάσσης
Ἔστιν ὕδωρ· τὸ δ' ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ·
Λάζεο πῦρ κραδίη· μὴ δείδιθι νήχυτον ὕδωρ
Δεῦρό μοι εἰς φιλότητα· τί δὴ ῥοθίων ἀλεγίζεις;
Ἀγνώσσεις, ὅτι κύπρις ἀπόσπορός ἐστι θαλάσσης;
Καὶ κρατέει πόντοιο καὶ ἡμετέρων ὀδυνάων;
Ὣς εἰπὼν μελέων ἐρατῶν ἀπεδύσατο πέπλον,
Ἀμφοτέραις παλάμῃσιν, ἑῷ δ' ἔσφιγξε καρήνῳ.
Ἠιόνος δ' ἐξῶρτο· δέμας δ' ἔρριψε θαλάσσῃ·
Λαμπομένου δ' ἔσπευδεν ἀεὶ κατεναντία λύχνου,
Αὐτὸς ἐὼν ἐρέτης, αὐτόστολος, αὐτόματος νηῦς.
Ἡρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου,
Λευγαλέης αὔρῃσιν ὅθεν πνεύσειεν ἀήτης,
Φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν· εἰσόκε Σηστοῦ
Πολλὰ καμὼν Λείανδρος ἔβη ποτὶ ναύλοχον ἀκτήν,
Καί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν. ἐκ δὲ θυράων

Νυμφίον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,
Ἀφροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης
Ἤγαγε νυμφοκόμοιο μυχοὺς ἔπι παρθενιῶνος·
Καὶ χρόα πάντα κάθηρε· δέμας δ' ἔχρισεν ἐλαίῳ
Εὐόδμῳ, ῥοδέῳ· καὶ ἁλίπλοον ἔσβεσεν ὀδμήν.
Εἰσέτι δ' ἀσθμαίνοντα βαθυστρώτοις ἐνὶ λέκτροις
Νυμφίον ἀμφιχυθεῖσα φιλήνορας ἔννεπε μύθους·
Νυμφίε πολλὰ μόγησας, ἃ μὴ πάθε νυμφίος ἄλλος·
Νυμφίε πολλὰ μόγησας· ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ,
Ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης,
Δεῦρο τεοὺς ἱδρῶτας ἐμοῖς ἐνὶ κάτθεο κόλποις.
Ὣς ἡ μὲν ταῦτ' εἶπεν· ὁ δ' αὐτίκα λύσατο μίτρην·
Καὶ θεσμῶν ἐπέβησαν ἀριστονόου Κυθερείης·
Ἦν γάμος, ἀλλ' ἀχόρευτος· ἔην λέχος, ἀλλ' ἄτερ ὕμ
οὐ Ζυγίην Ἥρην τις ἐπευφήμησεν ἀοιδός, (νων.
οὐ δαίδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνήν,
οὐδὲ πολυσκάρθμῳ τις ἐπεσκίρτησε χορείῃ,
οὐχ ὑμέναιον ἄεισε πατὴρ ἢ πότνια μήτηρ·
Ἀλλὰ λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις
Σιγὴ παστὸν ἔπηξεν· ἐνυμφοκόμησε δ' ὀμίχλη,
Καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.
Νὺξ μὲν ἔην κείνοισι γαμοστόλος, οὐδέ ποτ' ἠὼς
Νυμφίον εἶδε λέανδρον ἀριγνώτοις ἐνὶ λέκτροις.
Νήχετο δ' ἀντιπέραιον πάλιν ποτὶ δῆμον Ἀβύδου
Ἐννυχίων ἀκόρητος ἔτι πνείων ὑμεναίων.

Ἡρὼ

Ἡρὼ δ' ἑλκεσίπεπλος ἑοὺς λήθουσα τοκῆας,
παρθένος ἠματίη, νυχίη γυνή· ἀμφότεροι δὲ,
πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν ἠῶ.
Ὣς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
κρυπταδίῃ τέρποντο μετ' ἀλλήλων κυθερείῃ.
Ἀλλ' ὀλίγον ζώεσκον ἐπὶ χρόνον, οὐδὲ ἐπὶ δηρὸν
Ἀλλήλων ἀπόναντο πολυπλάγκτων ὑμεναίων.
Ἀλλ' ὅτε παχνήεντος ἐπήλυθε χείματος ὥρη
φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας·
Βένθεα δ' ἀστήρικτα καὶ ὑγρὰ θέμεθλα θαλάσσης,
χειμέριοι πνείοντες ἐπεστυφέλιζον ἀῆται,
Λαίλαπι μαστίζοντες ὅλην ἅλα· τυπτομένης δὲ,
Ἤδη νῆα μέλαιναν ἀπέκλασε διχθάδι χέρσῳ
χειμερίην καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
Ἀλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης,
καρτερόθυμε Λέανδρε, διακτορίη δέ σε πύργου,
Ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
Μαινομένης σ' ὤτρυνεν ἀφειδήσαντα θαλάσσης,
Νηλειὴς καὶ ἄπιστος. ὄφελλε δὲ δύσμορος Ἡρὼ,
χείματος ἱσταμένοιο μένειν ἀπάνευθε Λεάνδρου,
Μηκέτ' ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων·
Ἀλλὰ πόθος καὶ μοῖρα βιήσατο· θελγομένη δὲ,
Μοιράων ἀνέφαινε καὶ οὐκέτι δαλὸν ἐρώτων.
Νὺξ ἦν· εὖτε μάλιστα βαρυπνείουσιν ἀῆται
χειμερίης πνοιῇσιν ἀκοντίζοντες ἀῆται,

Ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης·
Δὴ τότε Λείανδρος ποθέων ἐθήμονος ἐλπίδι νύμφης
Δυσκελάδων πεφόρητο θαλασσαίων ὑμεναίων·
Ἤδη κύματι κῦμα κυλίνδετο· σύνθετο δ' ὕδωρ·
Αἰθέρι μίσγετο πόντος· ἀνέγρετο πάντοθεν ἠχή,
Μαρναμένων ἀνέμων· ζεφύρῳ δ' ἀντέπνεεν εὖρος·
Καὶ νότος ἐς βορέην μεγάλας ἐφέηκεν ἀπειλάς·
Καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσσης·
Αἰνοπαθὴς δὲ Λέανδρος ἀκηλήτοις ἐνὶ δίναις
Πολλάκι μὲν λιτάνευε θαλασσαίην Ἀφροδίτην·
Πολλάκι δ' αὐτὸν ἄνακτα Ποσειδάωνα θαλάσσης.
Ἀτθίδος οὐ Βορέην ἀμνήμονα κάλλιπε νύμφης·
Ἀλλά οἱ οὔτις ἄρηγεν. ἔρως δ' οὐκ ἤρκεσε μοίρας·
Παντόθι δ' ἀγρομένοιο δυσάντεϊ κύματος ὁρμῇ
Θρυπτόμενος πεφόρητο· ποδῶν δέ οἱ ὤκλασεν ὁρμή,
Καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων·
Πολλὴ δ' αὐτομάτη χύσις ὕδατος ἔρρεε λαιμῷ,
Καὶ ποτὸν ἀχρήιστον ἀμαιμακέτου πίεν ἅλμης,
Καὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης,
Καὶ ψυχὴν καὶ ἔρωτα πολυκλαύτοιο Λεάνδρου.
Εἰσέτι δ' ἰθύνοντος, ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς,
Ἵστατο κυμαίνουσα πολυκλαύτοισι μερίμναις·
Ἤλυθε δ' ἠριγένεια, καὶ οὐκ ἴδε νυμφίον Ἡρώ.
Πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Εἴ που ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην.

Λύχνου

Λύχνου σβεννυμένοιο. παρὰ κρηπῖδα δὲ πύργου
Θρυπτόμενον σπιλάδεσσιν ὅτ᾽ ἔδρακε νεκρὸν ἀκοί-
Δαιδάλεον ῥήξασα περὶ στήθεσσι χιτῶνα, (την,
Ῥοιζηδὸν προκάρηνος ἀπ᾽ ἠλιβάτου πέσε πύργου·
Κὰδ δ᾽ Ἡρὼ τέθνηκεν ἐπ᾽ ὀλλυμένῳ παρακοίτῃ.
Ἀλλήλων δ᾽ ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

ΤΕ'ΛΟΣ.

## ΓΝΩ͂ΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ ΚΑΤᾺ στοιχεῖον ἐκ διαφόρων ποιητῶν.

### Εἰς ἀγαθοὺς ἄνδρας.

Ἀνὴρ δὲ χρηστὸς, χρηστὸν οὐ μισεῖ ποτέ·
Γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίνεται·
Ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ δίδοι θεός.
Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.
Ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.

### Εἰς ἀλήθειαν.

Ἡ γλῶσσ' ἁμαρτάνουσα τ' ἀληθῆ λέγει.

### Εἰς ἁμαρτίαν.

Αἰσχρὸν δὲ μηδὲν πρᾶττε, μὴ δὲ μάνθανε.
Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.
Ἔργον πονηρῶν χεὶρ ἐλευθέραν ἔχει.
Ὁ μηδὲν εἰδὼς, οὐδὲν ἐξαμαρτάνει.

### Εἰς ἀνάγκην.

Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.
Ὑπὸ τῆς ἀνάγκης πολλὰ ποιοῦμεν κακά.

### Εἰς ἀρετήν.

Ἀνάπαυσίς ἐστι, τῶν κακῶν ἀπραξία.
Ἃ μὴ προσήκει, μήτ' ἄκουε, μήθ' ὅρα.
Βέλτιόν ἐστι σῶμα γ' ἢ ψυχὴν νοσεῖν.
Εὔτακτον εἶναι τ' ἀλλότρια δειπνοῦντα δεῖ.
Ἐλευθέρου γὰρ ἀνδρὸς τ' ἀληθῆ λέγειν.
Ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον·

Καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
Καρπὸς δ᾽ ἀγαθός ἐστιν εὔτακτος βίος.
Λάμβανε πρόνοιαν τοῦ προσήκοντος βίου.
Μακάριος, ὅστις μακαρίοις ὑπηρετεῖ.
Ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.
Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.
Ταμεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.
Ψυχῆς ἐπιμελοῦ τῆς σεαυτοῦ καθὰ δύνῃ.

Εἰς ἀχαριστίαν.

Ἀχάριστος, ὅστις εὖ παθὼν ἀμνημονεῖ.
Αἰεὶ δ᾽ ὁ σωθείς, ἐστὶν ἀχάριστος φύσει,
Ἅμ᾽ ἠλέηται καὶ τέθνηκεν ἡ χάρις.
Ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ.
Καλὸν δὲ θησαύρισμα, κειμένη χάρις.
Μετὰ τὴν δόσιν, τάχιστα γηράσκει χάρις.
Χάριν λαβὼν εὔκαιρον, ἐν καιρῷ δίδου.
Χάριν χαρίζου, καθ᾽ ὅσον ἰσχύεις ὅμως.
Χάριτας δικαίας καὶ δίδου, καὶ λάμβανε.
Χάριν λαβὼν, μέμνησο· καὶ δοὺς, ἐπιλάθου.

Εἰς βασιλέα.

Ἀρχῆς τετυχὼς, ἴσθι ταύτης ἄξιος.
Εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος θεοῦ.

Εἰς βίον.

Ἀμελοῦντα τοῦ ζῆν, οὐκ ἔνεστ᾽ εὐσχημονεῖν.
Βιοῖ μὲν οὐδεὶς, ὃν προαιρεῖται βίον.

Βίος ἐστὶν, ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.
Βίος καλεῖται δ' ὃς βίᾳ πορίζεται.
Βίος βίου δεόμενος, οὐκ ἔστιν βίος.
Γῆ πάντα τίκτει καὶ πάλιν κομίζεται.
Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.
Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον ἐν οὐδενί.
Τυφλὸν δὲ καὶ δύστηνον ἀνθρώποις βίος.
Τὸ ζῆν ἀλύπως, ἀνδρὸς ἐστὶν εὐτυχοῦς.
Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.

Εἰς βοήθειαν.

Ἀνὴρ γὰρ ἄνδρα καὶ πόλις σώζει πόλιν.
Χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον.

Εἰς βουλήν.

Ἀνὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ τρέχων.
Ἀβουλίᾳ γὰρ πολλὰ βλάπτονται βροτοί.
Ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
Βουλὴν δὲ, παντὸς πράγματος προλάμβανε.
Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
Ἱερὸν ἀληθῶς ἐστὶν ἡ συμβουλία.
Σύμβουλος ἐσθλὸς, μὴ κακὸς γίγνου φίλοις.
Σοφοῦ παρ' ἀνδρὸς προσδέχου συμβουλίαν.
Σοφὴ σοφῶν γὰρ γίγνεται συμβουλία.
Σύμβουλος ἴσθι τῶν ἀγαθῶν, μὴ τῶν κακῶν.

Εἰς γάμον.

Ἄλυπον

Ἄλυπον ἕξεις τὸν βίον χωρὶς γάμου.
γαμεῖν ὁ μέλλων εἰς μετάνοιαν ἔρχεται.
γάμος γὰρ ἀνθρώποισιν εὐκτέον κακόν.
γαμεῖν δὲ μέλλων, βλέψον εἰς τοὺς γείτονας.
Δαίμων σεαυτοῦ πλουσίαν γήμας ἔσῃ.
Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Νόμιζε γήμας δοῦλος εἶναι τοῦ βίου.
ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.
ῥᾷον βίον ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς.
ὡς τρισκακοδαίμων, ὅστις ὢν πένης γαμεῖ.

Εἰς γέλωτα.

γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.
γελᾷ δ' ὁ μωρός, κἄν τι μὴ γέλοιον ᾖ.

Εἰς γῆρας.

Ἅπαντ' ἀφανίζει γῆρας ἰσχὺν σώματος.
γήρως δὲ φαύλου τίς γένοιτ' ἀνατροπή.
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
Ἐφόδιον εἰς τὸ γῆρας αἰεὶ κατατίθου.
Ἥξει τὸ γῆρας πᾶσαν αἰπὰν φέρων.
καλὸν τὸ γηρᾶν, καὶ τὸ μὴ γηρᾶν πάλιν.
ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
ὁ σκληρὸς ἀνήρ ἐστιν ἐν νέοις γέρων.
πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.
φοβοῦ τὸ γῆρας· οὐ γὰρ ἔρχεται μόνον.
χαλεπὸν τὸ γῆρας ἐστὶν ἀνθρώποις βάρος.

Εἰς γονεῖς.

Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν·
γονεῖς δὲ τίμα, καὶ φίλους εὐεργέτει.
Ἔλπιζε τιμῶν τοὺς γονεῖς πράξειν καλῶς.
Θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
Ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς.
Νόμιζε σαυτοῦ τοὺς γονεῖς εἶναι θεούς.
Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

Εἰς γυναῖκα.

Βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή.
Γυναικὶ πάσῃ κόσμον ἡ σιγὴ φέρει.
Γυναικὸς ἐσθλῆς ἐστὶ σώζειν οἰκίαν.
Γυναικὶ κόσμος, ὁ τρόπος κ' οὐ χρυσία.
Γυνὴ δικαία τοῦ βίου σωτηρία.
Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.
Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν, ἢ γαμεῖν.
Γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
Γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον·
Γυνὴ γὰρ οὐδὲν οἶδε, πλὴν ὃ βούλεται.
Γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.
Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις·
Γυνὴ γὰρ οἴκῳ πῆμα καὶ σωτηρία.
Γυνὴ γυναικὸς πάντ' οὐδὲν διαφέρει·
Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.
Ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος μέγας.

ΖΗΛΟΣ

Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
Ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
Ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους.
Θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
Θηρῶν ἁπάντων ἀγριωτέρα κακὴ γυνή.
Θάλασσα καὶ πῦρ καὶ γυνὴ, κακὰ τρία.
Ἱστοὶ γυναικῶν ἔργα, κ᾽ οὐκ ἐκκλησίαι.
Ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
Ἴσον λεαίνης καὶ γυναικὸς ὠμότης.
Καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
Καλὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή.
Λύπη παροῦσα πάντοτ᾽ ἐστὶν ἡ γυνή.
Λέοντι συζῆν, ἢ γυναικὶ συμβιοῦν.
Μεστὸν κακῶν πέφυκε φορτίον γυνή.
Νύμφη δ᾽ ἄπροικος οὐκ ἔχει παῤῥησίαν.
Οὐδὲν γυναικὸς χεῖρον οὐδὲ τῆς καλῆς.
Πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκεν.
Ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.
Τερπνὸν κακὸν πέφυκεν ἀνδράσιν γυνή.
Ὑπερήφανον πρᾶγμ᾽ ἐστὶν ὡραία γυνή.
Ὑπὲρ γυναικὸς καὶ φίλου πονητέον.
Χειμὼν κατ᾽ οἴκους ἐστὶν ἀνδράσιν γυνή.
Ὡς ἔστ᾽ ἄπιστον ἡ γυναικεία φύσις.

Εἰς δῆμον.

Ἰσχυρὸν ὄχλος ἐστὶν, οὐκ ἔχει δὲ νοῦν.

Εἰς δη-

Εἰς δίκαιον.

Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
Ἀλλ᾽ ὅστις ἀδικεῖν δυνάμενος, οὐ βούλεται.
Βάδιζε τὴν εὐθεῖαν, ἵν᾽ δίκαιος ᾖς.
Βίου δικαίου γίγνεται τέλος καλόν.
Δίκαιος ἴσθ᾽ ἵνα καὶ δικαίων δὴ τύχῃς.
Δίκαιος εἶναι μᾶλλον, ἢ χρηστὸς θέλε.
Δίκαια δράσας συμμάχου τεύξῃ θεοῦ.
Κρίνειν δίκαιον, μὴ τὸ συμφέρον θέλε.
Πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
Τρόπος δίκαιος, κτῆμα τιμιώτατον.

Εἰς δόξαν.

Ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν.
Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.
Κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον.

Εἰς δούλους.

Δούλου δὲ χεῖρον οὐδὲν, οὐδὲ τοῦ καλοῦ.
Εἷς ἐστι δοῦλος, οἰκίας ὁ δεσπότης.
Λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν.
Ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.

Εἰς δυστυχίαν.

Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ᾽ εὐτυχεῖς.
Ἐπ᾽ ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν.

Ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυστυχεῖν.
Μὴ ἔμβαινε δυστυχοῦντι, κοινὴ γὰρ τύχη.
Μηδέποτε σ᾽ αὐτὸν δυστυχῶν ἀπελπίσῃς.
Νόμιζε κοινὰ πάντα δυστυχήματα.
Οἴμοι τὸ γὰρ ἄφνω δυστυχεῖν μανίαν ποιεῖ.
Τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.

Εἰς ἐγκράτειαν.

Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
Ἡ κοιλία καὶ πολλὰ χωρεῖ κολλίγα.

Εἰς ἐλπίδας.

Ἀνὴρ ἀτυχῶν δὲ, σώζεται ταῖς ἐλπίσιν.
Αἱ δ᾽ ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.
Ἔλπιζε πάντα μέχρι γήρως, θνητὸς ὤν.

Εἰς ἔπαινον.

Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμια.
Φίλον ἔπαινον μᾶλλον ἢ σ᾽ αὐτοῦ λέγε.

Εἰς εὐγένειαν.

Ἀνὴρ ἄριστος, οὐκ ἂν εἴη δυσγενής.

Εἰς εὐτυχίαν.

Δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
Κατ᾽ ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.
Κοινὸν δὲ καλόν ἐστι χρηστὸς εὐτυχῶν.
Οὐκ ἔστιν ὅστις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.
Πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ.
Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.

τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς·
ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

Εἰς εὐσέβειαν.

Θνητὸς πεφυκὸς, μὴ φρονῆς ὑπέρθεα.
Θεὸν σέβου, καὶ πάντα πράξεις εὐθέως·
ὑπὲρ εὐσεβείας, καὶ λάλει, καὶ μάνθανε.

Εἰς εὐχήν.

Εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός.

Εἰς ἐρῶντα.

Γέρων ἐραστὴς, ἐσχάτη κακὴ τύχη.

Εἰς ἔχθραν.

Ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν.
Ἐχθροὺς ἀμύνου μὴ πὶ τῇ σαυτοῦ βλάβῃ.
Ἐχθροῖς ἀπιστῶν, οὔποτ' ἂν πάθοις βλάβην.
Λόγον παρ' ἐχθροῦ, μή ποθ' ἡγήσῃ φίλον.

Εἰς ζωήν.

Ζῆν βουλόμενος μὴ πρᾶττε θανάτου ἄξια.
Ζῆν αἰσχρὸν, οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.
Πάντες καλῶς ζῆν ἐθέλομεν, ἀλλ' οὐ δυνάμεθα.
Ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.

Εἰς ἡδονήν.

Ἡ γὰρ παράκαιρος ἡδονὴ τίκτει βλάβην·
Ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα.

Εἰς θάνατον.

βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.
ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως.
θνητὸς πεφυκώς, μὴ γέλα τεθνηκότα.
καλὸν τὸ θνήσκειν, οἷς ὕβριν τὸ ζῆν φέρει.
κρεῖσσον τὸ μὴ ζῆν ἐστιν, ἢ ζῆν ἀθλίως.
ὃν γὰρ φιλεῖ θεός γ' ἀποθνήσκει νέος.
οὐπώποτ' ἐζήλωσα πολυτελεῖς νεκρούς.
τὸ γὰρ θανεῖν, οὐκ αἰσχρόν, ἀλλ' αἰσχρῶς θανεῖν.

Εἰς θεόν.

θεὸς συνεργῶν, πάντα ποιεῖ ῥᾳδίως.
θεοῦ θέλοντος κἂν ἐπὶ πιὸς πλέοις.
ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.
πάντη γάρ ἐστι, πάντα τε βλέπει θεός.
τὸ γὰρ τρέφον με, τοῦτ' ἐγὼ κρίνω θεόν.

Εἰς ἰατρούς.

ἰατρὸς ἀδόλεσχος, νοσοῦντι πάλιν νόσος.
πολλῶν ἰατρῶν εἴσοδός μ' ἀπώλεσεν.

Εἰς καιρόν.

ἅπαντα καιρῷ χάριν ἔχει γινόμενα.
καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
καιρὸς γάρ ἐστι τῶν νόμων κρεῖττον πολύ.
καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
καιροῦ τυχὼν γὰρ πτωχὸς ἰσχύει μέγα.
πολλῶν ὁ καιρὸς γίγνεται παραίτιος.

Πολλοὺς ὁ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
Ταχὺ δ' ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
Τὸν καιρὸν εὔχου πάντοθ' ἵλεων ἔχειν.
Ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.
Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.

Εἰς κάλλος.

Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
Ὡς ἡδὺ κάλλος, ὅταν ἔχῃ νοῦν σώφρονα.

Εἰς κέρδος.

Βίον πορίζου πάντοθεν, πλὴν ἐκ κακῶν.
Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
Ζήτει συνάγειν ἐκ δικαίων τὸν βίον.
Ἦθος πονηρὸν φεῦγε, καὶ κέρδος κακόν.
Κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ.
Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
Τὰ μικρὰ κέρδη, μείζονας βλάβας φέρει.
Τὸ κέρδος ἥτοι κέρδος, ἂν δίκαιον ᾖ.
Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

Εἰς κρίσιν καὶ εἰς τὴν θείαν δίκην.

Κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ,
Ἀνεξέταστον μὴ κόλαζε μηδένα.
Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.
Ἔστιν δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ.
Θεοῦ δὲ πληγὴν, οὐχ ὑπερπηδᾷ βροτός.

Λήσειν διὰ πλέους μὴ δόκει πονηρὸς ὤν·
Ὀξὺς θεοῦ δ' ὀφθαλμὸς εἰς τὸ πάνθ' ὁρᾶν.

Εἰς κρύφια.

Ἀφεὶς τὰ φανερὰ, μὴ δίωκε τ' ἀφανῆ.
Ἢ μὴ ποίει τὸ κρυπτὸν, ἢ μόνος ποίει.
Ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.

Εἰς λιμόν.

Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ·
Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.
Πολλῶν ὁ λιμὸς γίγνεται διδάσκαλος.

Εἰς λόγον.

Ἰσχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου·
Λόγος γάρ ἐστι λύπης φάρμακον μόνος.
Λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ.
Χωρὶς τότ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια.
Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε·
Λύπην γὰρ οὗτος οἶδεν ἰᾶσθαι λόγος.
Λόγῳ διοικεῖται βροτῶν βίος μόνῳ.
Μέγιστόν ἐστιν ὀργῆς φάρμακον λόγος.
Ὁ λόγος ἰατρός ἐστι τοῦ κατὰ ψυχὴν πάθους.
Ῥῆμα παρὰ καιρὸν ῥηθὲν, ἀνατρέπει βίον.
Ῥίψας λόγον τὶς, οὐκ ἀναιρεῖται πάλιν.
Ψυχῆς νοσούσης, ἐστὶ φάρμακον λόγος.

Εἰς λύπην.

Ἀεὶ τὸ λυποῦν ἐκδίωκε τοῦ βίου.
Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος·
Βιοῦν ἀλύπως θνητὸν ὄντ' οὐ ῥᾴδιον.
Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.
Πλοίου λιμὴν μὲν, ἀλυπία δ' ὅρμος βίου.
Οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακόν.
Τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.

Εἰς μέθην.

Καλὸν τὸ νήφειν, ἢ τὸ πολλὰ κραιπαλᾶν.
Ὁ πολὺς ἄκρατος, μίκρ' ἀναγκάζει φρονεῖν.

Εἰς τὸ μέλλον.

Θνητὸς πεφυκὼς, τοὐπίσω πειρῶ βλέπειν.
Μένει δ' ἑκάστῳ τοῦθ' ὅπερ μέλλει παθεῖν.
Μή μοι γένοιθ' ἃ βούλομ', ἀλλ' ἃ συμφέρει.
Οὐδεὶς τὸ μέλλον ἀσφαλῶς βουλεύεται.

Εἰς μετάνοιαν.

Ἡ δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.

Εἰς μετριότητα.

Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.
Βούλου δ' ἀρέσκειν πᾶσι μὴ σαυτῷ μόνον.
Εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.
Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις.
Ἴσος μὲν ἴσθι πᾶσι, κἂν προὔχῃς βίῳ.
Σωτηρίας σημεῖον, ἥμερος τρόπος.
Τὸ γνῶθι σαυτὸν, πανταχοῦ 'στι χρήσιμον.

Εἰς μηζυγάν.

Δυσμορφότερον οὐδὲν ἄλλο, μηζυγῆς κακόν.

Εἰς νεότητα.

Ἀκμὴ βίου ὅλον οὐδὲν ἄνθους διαφέρει.
Μέμνησο νέος ὤν, ὡς γέρων ἔσῃ ποτέ.
Νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.
Νέῳ δὲ σιγᾷν μᾶλλον, ἢ λαλεῖν πρέπει.
Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.

Εἰς νόμους.

Ἰσχυρὸν ὁ νόμος ἐστὶν, ἂν ἄρχοντ' ἔχῃ.
Νόμῳ τὰ πάντα γίγνεται, καὶ κρίνεται.
Νόμοις ἕπεσθαι τοῖσιν ἐγχωρίοις καλόν.
Βίας παρούσης οὐδὲν ἰσχύει νόμος.
Ῥήτωρ πονηρὸς τοῖς νόμοις λυμαίνεται.

Εἰς ξένους.

Ξένους ἅπαντας μὴ παροράμενος ἰδών.
Ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ.
Ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει.
Ξένοισι πιστοῖς, πιστὸς ὢν γίγνου φίλος.
Ξένον ἀδικήσεις μηδέποτε, καιρὸν λαβών.
Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
Ξένος ὢν ἀπράγμων ἴσθι, καὶ πράξεις καλῶς.
Ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
Ξένον δὲ, σιγᾶν κρεῖττον ἢ κεκραγέναι.
Ξένος πεφυκὼς, τοὺς ξενοδόχους σέβου.

ξένους ξένιζε καὶ σὺ γὰρ ξένος γ᾽ ἔσῃ.
γλαίνη βίον ζήσῃ σωφρονέστερος.

Εἰς ὅρκον.

Ἄνδρὸς δὲ φαύλου ὅρκον, εἰς ὕδωρ γράφε.
θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
ὅρκον δὲ φεῦγε, κἂν δικαίως ὀμνύῃς.

Εἰς ὀργήν.

Ἄνθρωπος ὢν, γίγνωσκε τῆς ὀργῆς κρατεῖν.
γίγνου δ᾽ ἐς ὀργὴν μὴ ταχὺς, ἀλλὰ βραδύς.
βλάπτει τὸν ἄνδρα θυμὸς, εἰς ὀργὴν πεσών.
ζήσεις βίον κράτιστον, ἂν θυμοῦ κρατῇς.
θυμοῦ κρατῆσαι κἀπιθυμίας, καλόν.
νίκησον ὀργὴν, τῷ λογίζεσθαι καλῶς.
ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
οὐδεὶς μετ᾽ ὀργῆς ἀσφαλῶς βουλεύεται.
ὀργὴ φιλούντων μικρὸν ἰσχύει χρόνον.
ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
φεύγειν ἀεὶ δεῖ τοὺς ποτὰς θυμουμένους.

Εἰς παῖδας.

Αὐθαίρετος λύπ᾽ ἐστὶν ἡ τέκνων σπορά.
μακάριον ἐστιν, υἱὸν εὔτακτον τρέφειν.
μακάριος, ὅστις εὐτύχησεν εἰς τέκνα·
στῦλος γὰρ οἴκου, παῖδές εἰσιν ἄρρενες.
φιλίας μέγιστος δεσμὸς, αἱ τέκνων γοναί.

Εἰς παιδείαν.

Ἀναφαι-

Ἀναφαίρετον κτῆμ' ἐστὶ παιδεία βροτοῖς.
Ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
Βραβεῖον ἀρετῆς ἐστιν, εὐπαιδευσία.
Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.
Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα, νοῦν ἔχειν.
Διπλοῦν ὁρῶσιν, οἱ μαθόντες γράμματα.
Βακτηρία γάρ ἐστι παιδεία βίου.
Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
Κἂν τοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
Καλὸν δὲ καὶ γέροντι μανθάνειν σφόδρα.
Τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
Ὁ γράμματ' εἰδὼς, καὶ περισσὸν νοῦν ἔχει.
Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν.
Ὁ μὴ δαρεὶς ἄνθρωπος, οὐ παιδεύεται.
Ὁ γραμμάτων ἄπειρος, οὐ βλέπει βλέπων.
Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
Σοφοῖς ὁμιλῶν, κ' αὐτὸς ἐκβήσῃ σοφός.
Σοφία γάρ ἐστι, καὶ μαθεῖν ὃ μὴ νοεῖς.
Σοφῶν παρ' ἀνδρῶν πρῶτον εὑρέθη λόγος.
Σοφὸς γὰρ οὐδεὶς, ὃς τὰ πάντα προσκόπτει.
Σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.
Ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ.

Εἰς παραίνεσιν.

Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί·
Αὐτοὶ δ' ἁμαρτάνοντες, οὐ γιγνώσκομεν.

Εἰς πενίαν.

Πενία δ' ἀγνώμονάς γε τοὺς πολλοὺς ποιεῖ.
Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς·
Λιτῶς καλῶς ζῆν κρεῖσσον, ἢ λαμπρῶς κακῶς.
Μισῶ πένητα πλουσίῳ δωρούμενον.
Πενίαν φέρειν, οὐ παντὸς, ἀλλ' ἀνδρὸς σοφοῦ.
Πένητας ἀργοὺς οὐ τρέφει ῥᾳθυμία.
Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
Πενίαν φέρειν, καὶ γῆρας ἐστὶ δύσκολον·
Οὐδὲν πενίας βαρύτερόν ἐστι φορτίον.
Τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.

Εἰς πίστιν.

Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.

Εἰς πλεονεξίαν.

Ἰσότητα δ' αἱροῦ, πλεονεξίαν φύγε·
Κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.

Εἰς πλοῦτον.

Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
Δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα.
Ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.
Ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
Μέμνησο πλουτῶν, τοὺς πένητας ὠφελεῖν.
Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺ πένης γένῃ.

Πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν.
Ῥᾴθυμος ὢν σὺ πλούσιος, πένης ἔσῃ.
οὐδεὶς ἐπλούτησε ταχέως δίκαιος ὤν.
Χρυσὸς δ' ἀνοίγει πάντα κ' ᾅδου πύλας.

Εἰς πολυπραγμοσύνην.

Πολυπραγμονεῖν τ' ἀλλότρια μὴ βούλου κακά.
Πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα.
Τὸ πολλὰ πράττειν, ἐστὶ πανταχοῦ σαπρόν.
Τὸ πολλὰ πράττειν, καὶ λύπας πολλὰς ἔχει.

Εἰς πονηρούς.

Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ.
Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί.
Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
Ἀνουθέτητόν ἐστιν ἡ πονηρία.
Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
Δύσμορφος εἶναι μᾶλλον, ἢ καλὸς κακός.
Τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον.
Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
Ἤθη πονηρὰ, τὴν φύσιν διαστρέφει.
Θεοῦ δ' ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
Κακοῖς ὁμιλῶν κ' αὐτὸς ἐκβήσῃ κακός.
Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Καὶ ζῶν ὁ φαῦλος, καὶ θανὼν κολάζεται.

φθείρουσιν ἤθη χρῆσθ' ὁμιλίαι κακαί.
φασὶν κακίστους οἱ πονηροὶ τοὺς καλούς.
χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
ὡς ἔργον ἐστὶ ζῆν ἐν πονηροῖς ἤθεσιν.
ὡς πάντα τιμῆς ἐστι, πλὴν καλοῦ τρόπου.

Εἰς προσοχήν.

Εἰ μὴ φυλάσσεις μικρὰ, ἀπολεῖς τὰ μείζονα.
τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται.

Εἰς σιωπήν.

γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.
γλώσσῃ ματαίᾳ ζημία προσγίνεται.
Διὰ δὲ σιωπῆς πικρότερον κατηγορεῖ.
Ἐνίοις τὸ σιγᾶν, ἐστὶ κρεῖττον τοῦ λέγειν.
Εὐκαταφρόνητόν ἐστι, σιγηρὸς τρόπος.
Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.
Πολλοῖς ἀπόκρισις, ἡ σιωπὴ τυγχάνει.
Ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
Ἢ δεῖ σιωπᾶν, ἢ λέγειν ἀμείνονα.
Κρεῖττον σιωπᾶν, ἢ λαλεῖν ἃ μὴ πρέπει.
οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.
Σιγὴ ποτ' ἐστὶν αἱρετωτέρα λόγου.
οὐ δεῖ σιωπᾶν καὶ λαλεῖν, ὅπου χρεών.

Εἰς συνείδησιν.

Συνείδησις πλήττει τὴν ψυχήν.

βροτοῖς

Βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.

Εἰς τέχνην.

Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
Τύχη τέχνην εὕρηκας, οὐ τέχνη τύχην.

Εἰς τιμήν.

Τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.

Εἰς τόλμαν.

Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.
Ἔστι τὸ τολμᾶν, ὦ φίλ', ἀνδρὸς οὐ σοφοῦ.
Προπέτεια πολλοῖς ἐστὶν αἰτία κακῶν.
Τὸ πολλὰ τολμᾶν, πόλλ' ἁμαρτάνειν ποιεῖ.

Εἰς τύχην.

Ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης·
Βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.
Δοὺς τῇ τύχῃ τὸ μικρόν, ἐκλήψῃ μέγα.
Δυσπαρακολούθητον δὲ πρᾶγμ' ἔσθ' ἡ τύχη.
Θεῷ μάχεσθαι δεινόν ἐστι, καὶ τύχῃ.
Οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη.
Πολλοὺς κακῶς πράσσοντας, ὤρθωσεν τύχη.
Πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.
Ῥέγχει παρούσης τῆς τύχης τὰ πράγματα.

χειμῶν μεταβάλλει ῥαδίως εἰς εὐδίαν.
ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον, τύχη.

Εἰς ὕβριν.

Δύσμοιρος ἴσθι μᾶλλον ἢ κακηγόρος.
ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
οὐδὲν πέπονθας δεινὸν ἂν μὴ προσποιῇ.

Εἰς ὑγίειαν.

οὐκ ἔσθ' ὑγιείας κρεῖττον οὐδὲν ἐν βίῳ.
ὑγίεια καὶ νοῦς, ἐσθλὰ τῷ βίῳ δύο.

Εἰς ὑπερηφανίαν.

Ἀλαζονείας οὔτις ἐκφεύγει δίκην.
ὅτ' εὐτυχεῖς μάλιστα, μὴ μέγα φρόνει.

Εἰς ὕπνον.

ὕπνος, θανάτου τὶς προμελέτησις πέλει.
ὕπνος δὲ, πᾶσιν ἐστὶν ὑγίεια βίου.
ὕπνος, τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
ὕπνος πέφυκε σώματος σωτηρία.
ὕπνος δὲ πεῖναν τὴν κακίστατον δαμᾷ.

Εἰς ὑπομονήν.

Ἀνδρὸς, τὰ προσπίπτοντα γενναίως φέρειν.
Ἔνεγκε λύπην καὶ βλάβην ἐρρωμένως.
κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
Νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.
Πειρῶ τύχης ἄγνοιαν εὐγενῶς φέρειν.
Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.

Στερρῶς

Στέρρως φέρειν χρὴ συμφορὰν, τὸν εὐγενῆ.
Τὴν τῶν κρατούντων μάνθανε φέρειν ἐξουσίαν.
Φρονοῦντός ἐστι, ζημίαν ῥᾷον φέρειν.
Φέρειν ἀνάγκη θνητὸν ὄντα, τὴν τύχην.

Εἰς φθόνον.

Αὐτὸς πονωθεὶς, τοῖς ἔχουσι μὴ φθόνει.

Εἰς φίλους.

Ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.
Ἅπασιν εὖ πράττουσιν ἥδυ μου φίλοις.
Ἀνδρὸς καλῶς πράσσοντος, ἐκποδὼν φίλοι.
Βέβαιος ἴσθι, καὶ βεβαίως χρῶ φίλοις.
Δεῖ τοὺς φιλοῦντας, πίστιν, οὐ λόγους ἔχειν.
Ἐν τοῖς δὲ δεινοῖς, χρημάτων κρείττων φίλος.
Εὔχου δ' ἔχειν τι, κἂν ἔχῃς, ἕξεις φίλους.
Ἐν τοῖς κακοῖς δὲ τοὺς φίλους εὐεργέτει.
Ἴσον θεῷ σου τοὺς φίλους τιμᾶν θέλε.
Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
Κρίνει φίλους ὁ καιρὸς, ὡς χρυσὸν τὸ πῦρ.
Καλὸν, τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
Καλὸν θέαμα δ' ἐστὶν, εὖ πράττων φίλος.
Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.

Μηδέ ποτε περὶ δύο φίλων εἶναι κριτής.
Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.
Οὐκ ἔστιν οὐδεὶς, ὅστις οὐχ αὑτὸν φιλεῖ.
Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ ἐκφάνῃς φίλου.
Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
Περὶ φίλοισι μὴ κακός γ' εἶναι φίλος.
Πολλοὶ τραπέζης, οὐκ ἀληθείας φίλοι.
Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
Φίλον δι' ὀργὴν ἐν κακοῖς μὴ παρίδῃς.
Φίλος φίλῳ γὰρ συμπονῶν, αὑτῷ πονεῖ.
Φίλου τρόπους γίνωσκε, μισήσεις δὲ μή.
Φίλους με βλάπτων, οὐδὲν ἐχθροῦ διαφέρει.
Φίλους ἔχων, νόμιζε θησαυροὺς ἔχειν.
Φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.
Φιλίας δικαίας κτῆσις ἀσφαλεστάτη.
Φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.

Εἰς φιλοπονίαν.

Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
Ἐν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
Φιλόπονος ἴσθι, καὶ βίον κτήσῃ καλόν.
Ὡς ἡδὺ τοῖς σοφοῖσι μεμνῆσθαι πόνων.
Ὡς πολλὰ θνητοῖς ἡ χολὴ ποιεῖ κακά.
Αὐτά σε διδάσκει τοῦ βίου τὰ πράγματα.

Εἰς φρόνησιν.

Ἀγαθὸν

## ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ

Ἀγαθὸν μέγιστον ἡ φρόνησίς ἐστ' ἀεί.
Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Ἄριστόν ἐστι πάντ' ἐπίστασθαι καλά.
Ἂν εὖ φρονῇς τὰ πάντα γ' εὐδαίμων ἔσῃ·
Ἀεὶ κράτιστόν ἐστι τ' ἀσφαλέστατον.
Ἔνιοι κακῶς φρονοῦσι, πλέασοντ' εὖ καλῶς·
Ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.
Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.
Ἡδύ γε, πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.
Ἥδιστόν ἐστιν εὐτυχοῦντα, νοῦν ἔχειν.
Μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός.
Νοεῖν γάρ ἐστι κρεῖττον, ἢ σιγὴν ἔχειν.
Συνετὸς πεφυκὼς φεῦγε τὴν κακουργίαν.
Ὁ παρ' ἡλικίαν νοῦς, μῖσος ἐργάζεται.
Οὐδεὶς ὃ νοεῖς μὲν, οἶδεν· ὃ δὲ ποιεῖς, βλέπει.
Οὐ πανταχῇ δ' ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.
Τὸ μηδὲν εἰκῇ, πανταχοῦ 'στι χρήσιμον.
Ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.
Ὡς οὐδὲν ἡ μάθησις, ἢν μὴ νοῦς παρῇ.

### Εἰς φύσιν

Ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις.

Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
Πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει.
Σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
Χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
Χρόνος δίκαιον ἄνδρα δεικνύει μόνος.
Χρόνος δ' ἀναιρεῖ πάντα καὶ λήθην ἄγει.

Εἰς χρέος.

Λαβὼν ἀπόδος ἄνθρωπε καὶ λήψῃ πάλιν.
Τὰ δάνεια, δούλους τοὺς ἐλευθέρους ποιεῖ.

Εἰς ψεῦδος.

Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
Ψεῦδος διαβολὴ τὸν βίον λυμαίνεται.
Ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.

Εἰς ψόγον.

Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος·
Νικᾷ γὰρ αἰεὶ διαβολὴ τὰ κρείττονα.
Τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν, ἀνδρὸς κακοῦ.

Εἰς ψυχήν.

Ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.

Τέλος τῶν γνωμῶν.

[redacted]

Non muto Castra [illegible]